**εὐριπίδειον τεσσαρεσκαιδεκασύλλαβον**

Hephaest. 53. 6 sqq. ἄλλο (*scil.* ἀσυνάρτητον) τούτου (*scil.* τοῦ ἀσυναρτήτου κατὰ τὴν πρώτην ἀντιπάθειαν, ἐξ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου καὶ τροχαικοῦ ἑφθημιμεροῦς) ἔλαττον παρὰ τὴν τελευταίαν συλλαβὴν τὸ καλούμενον εὐριπίδειον τεσσαρεσκαιδεκασύλλαβον, οἷον παρὰ μὲν αὐτῷ Εὐριπίδῃ· (fr. 929 [TrGF V, p. 930] Kannicht)

ἑῷος ἡνίχ᾽ ἱππότας ἐξέλαμψεν ἀστήρ·

παρὰ δὲ Καλλιμάχῳ· (fr. 227. 1 sq. Pfeiffer)

ἔνεστ᾽ Ἀπόλλων τῷ χορῷ· τῆς λύρης ἀκούω·
καὶ τῶν Ἐρώτων ᾐσθόμην· ἔστι κἀφροδίτη. [*L.S.*]